Abamelek-Lazarev, Semen S.: Pal'mira: archeologieskoe izsldovanie
St. Peterburg, 1884 Seite 52



## IV.

Столбецъ первый.

Ἄλλῳ μηδενὶ πράσσειν διδόναι λαμβ[άνειν]
ἐξέστω μήτε τι.........ωφ.λνθ............[μή]-
τε τιν[ὶ ὀν]όματι τὸ συ.......οε.υπ.............
τοῦτο...... ποιήσῃ ||C........................
ου.........α[τε]λουν.........................

Строки 5—31 слишкомъ испорчены для того, чтобы давать ихъ транскрипцію, тѣмъ болѣе, что и соотвѣтствующій арамейскій текстъ нисколько не можетъ помочь ихъ возстановленію.

.. ....φόρον.......μα τοῦ μὲν.....φορτ
......αγων........αι X ς, τοῦ δὲ δ[......X] ϑ'.
ἀξιοῦντος το[ῦ τελών]ου εἰ καὶ μὴ σ[υνεφωνήθη?
ἰτ]αλικῶν ἐξα[γόντω]ν πράσσειν, ὕστ[ερον συν]-
εφωνήθη μ[εταξ]ὺ τῶν ἐξαγό[ντων........δί]-
δοσθαι.
Μύρου τοῦ ἐν ἀσκο[ῖς αἰγ]ε[ίο]ι[ς] πρ[άσσειν
κατὰ τὸν νόμο[ν ...........................
τημα γέγονεν τῷ προτε[θέ]ν[τι..]ικ...[καθὼς ἐν τῷ]
ἐσφραγισμένῳ νόμῳ τέτακται [X ι']
[Τὸ] τοῦ σφάκτρου τέλος εἰς δηνάριον ὀφείλει λο[γεύεσθαι]
καὶ Γερμανικοῦ Καίσαρος διὰ τῆς πρὸς Στατείλ[ιον ἐπισ]-
τολῆς διασαφήσαντος ὅ[τ]ι δεῖ πρὸς ἀσσαριον ἰ[ταλικὸν]
τὰ τέλη λογεύεσθαι, τὸ δὲ ἐντὸς δηναρ[ί]ου τέλο[ς ἐκ]
συνηθεία(ς) ὁ τελώνης πρὸς κέρμα πράξει, τῶ[ν δὲ]
διὰ τὸ νεκριμαῖα εἶναι ῥειπτουμένων τὸ τέλο[ς οὐ πράξει].
Τῶν βρωτῶν τὸ κα(τὰ) τὸν νόμον τοῦ γόμου δηνά[ριον]
εἵστημι πράσσεσθαι ὅταν ἔξωθεν τῶν ὅρων ε[ἰσάγηται]
ἢ ἐξάγηται.
Τοὺς δὲ εἰς χωρία ἢ ἀπὸ τῶν [χω]-
ρίων κατακομίζοντας ἀτελεῖς εἶναι ὡς καὶ συνεφώ-
νησεν αὐτοῖς.
Κώνου καὶ τῶν ὁμοίων [εἰδῶν],
ξένος ἃ 'εἰς ἐμπορείαν φέρεται, τὸ τέλος εἰς τὸ ξ[ηρ]-
όφορτον ἀνάγεσθαι, ὡς καὶ ἐν ταῖς λοιπαῖς γείνεται πόλεσ[ιν].

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
http://digi.ub.uni-heidelberg.de/diglit/abameleklazarev1884/0060
gefördert durch die DFG